ὅμως δὲ καίπερ σμικρὸν ἐμπνέουσ᾽ ἔτι
βλέψαι πρὸς αὐγὰς βούλεται τὰς ἡλίου.
ἀλλ᾽ εἶμι καὶ σὴν ἀγγελῶ παρουσίαν·
οὐ γάρ τι πάντες εὖ φρονοῦσι κοιράνοις,
ὥστ᾽ ἐν κακοῖσιν εὐμενεῖς παρεστάναι·
σὺ δ᾽ εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.

*ΗΜΙΧ.* ἰὼ Ζεῦ, τίς ἂν πῶς πᾷ πόρος κακῶν — str.
γένοιτο καὶ λύσις τύχας ἃ πάρεστι κοιράνοις;

*ΗΜΙΧ.* ἔξεισί τις; ἢ τέμω τρίχα,
καὶ μέλανα στολμὸν πέπλων
ἀμφιβαλώμεθ᾽ ἤδη;

*ΗΜΙΧ.* δῆλα μέν, φίλοι, δῆλά γ᾽, ἀλλ᾽ ὅμως
θεοῖσιν εὐχώμεσθα· θεῶν γὰρ δύναμις μεγίστα.

*ΗΜΙΧ.* ὦναξ Παιάν,
ἔξευρε μηχανάν τιν᾽ Ἀδμήτῳ κακῶν,
πόριζε δὴ πόριζε· καὶ πάρος γὰρ
τοῦδ᾽ ἐφηῦρες, καὶ νῦν
λυτήριος ἐκ θανάτου γενοῦ,
φόνιον δ᾽ ἀπόπαυσον Ἅιδαν.

*ΗΜΙΧ.* παπαῖ * * * * * * * * * — antistr.
ὦ παῖ Φέρητος, οἷ᾽ ἔπραξας δάμαρτος σᾶς στερείς.

*ΗΜΙΧ.* ἆρ᾽ ἄξια καὶ σφαγᾶς τάδε,

---

ὡς οὔποτ᾽ αὖθις, ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ᾽ ἡλίου προσόψεται.

---

207. 208 ex Hecub. 411. 12 huc male invectos esse intellexit Valckenarius ad Hipp. 682   211 *παριστάναι S* (*P πα**στάναι L παρεστάναι l*)   213—43 choro tribuunt *B a P*   213—17 choro, 218—25 *θεραπαίνῃ*, 226—43 choro tribuit *L*   213 quomodo 213. 14 et antistrophici 226. 27 corrigendi sint, prorsus incertum | *ἂν πῶς πᾶ B*] *ἄν πως * * L ἄν πως παὶ* P ἂν πᾶ a πῶς πᾷ* del. Musgravius

215 *τέμω* Hermannus] *τεμῶ* libri   218 *γ᾽*] *δ᾽ B*   219 *εὐχώμεσθα al*] *εὐχώμεθα L εὐχόμεθα P ἐχώμεθα B* | *δύναμις B*] *ἁ δύναμις r* | *μεγίστα B*] *μέγιστᾶ* (sic) *a μεγίστη r*   220 *ὦναξ B*
221 *μηχανάν τιν᾽ S*] *μηχανήν τιν᾽ a μηχανὴν ἥντιν᾽ B*   223 *ἐφεῦρες* libri. verba *τοῦδ᾽ ἐφεῦρες* interpolata esse censet G. Dindorfius, cum genuinum excidisset   225 *δ᾽*] *τ᾽ S* | *Ἅιδαν* Heathius not. ad trag. graec. dram. (Eur.) p. 56] *ἀΐδαν* libri   226 sq. *παπαὶ ὦ B a*] *παῖ παῖ φεῦ φεῦ ἰὼ ἰώ S* lacunae signa posuit G. Dindorfius   227 *οἷα πράξεις* Iacobsius animadv. in Eur. p. 31 | *σᾶς*] *σῆς P τῆς σῆς L* | *στερείς* Monkius] *στερηθείς* libri   228 *ἆρ᾽* Hermannus] *αἶ αἶ P αἲ αἲ L αἶ αἶ αἲ αἲ B αἶ αἶ αἶ αἶ a*